www.tezaurliturgic.ro

*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος*
*(Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

**************************************************
*****************

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΕΙΣ ΤΟΝ ΠΑΜΜΕΓΙΣΤΟΝ ΤΑΞΙΑΡΧΗΝ
# Ρ Α Φ Α Η Λ

*

*

* * * * *

*

*

ΑΘΗΝΑΙ 2014

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΕΙΣ ΤΟΝ ΠΑΜΜΕΓΙΣΤΟΝ ΤΑΞΙΑΡΧΗΝ

# Ρ Α Φ Α Η Λ

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

*******************************

*******************

**Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον , μεθ' ὃ τὸ Θεὸς Κύριος , ὡς συνήθως, καὶ τὸ ἑξῆς·**

**Ἦχος δ´ . Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Τῶν οὐρανίων τὸν ἐξάρχοντα Νόων
νῦν Ῥαφαὴλ τὸν Ἀρχιστράτηγον πόθῳ
διακονίας Ἄγγελον βροτῶν ἐκτενῶς
Λειτουργὸν ὡς πάμφωτον εὐφημήσωμεν δόξης
θείας καὶ ἀνύστακτον εὐσεβῶν παραστάτην,
καθοδηγοῦντα πάντας ἀπλανῶς
πρὸς σωτηρίας ἐν πόλῳ σκηνώματα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι.
Εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα
τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων;
Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

**Εἶτα ὁ Ν´ Ψαλμὸς καὶ ὁ Κανών, οὗ ἡ Ἀκροστιχίς·**

**" Ὁδήγησόν με, Ῥαφαήλ, εἰς ὁδὸν σωτηρίαν. Χ. "**

**ᾨδὴ α´. Ἦχος πλ. δ´ Ὑγρὰν διοδεύσας.**

Ὁδήγησον πάντας τοὺς εὐσεβεῖς
χειρί σου τιμίᾳ,
ἀστραπόμορφε Ῥαφαήλ,

πρὸς τρίβους παμφώτους σωτηρίας,
ὁ χοϊκῶν ὁδηγὸς πρὸς τελείωσιν.

**Δ**ιάκονος πάντων Χριστιανῶν,
Ἀρχάγγελε, πέλων
τῶν θελόντων τῆς ἀρετῆς
ὁδοὺς διανῦσαι, βοηθός μοι
γενοῦ, λαμπρὲ Ῥαφαήλ, ἐν στενώσεσι.

**Ἡ** Σάῤῥα, ἡ νύμφη σεμνοῦ Τωβίτ,
ὑμνοῦσα σὴν χάριν
τῶν ἰάσεων, Ῥαφαήλ,
διδάσκει ἡμᾶς σε μεγαλύνειν
ὡς ἰατρὸν νοσημάτων ἀνύστακτον.

**Θεοτοκίον.**

**Γ**ηθόμενοι πάντες οἱ γηγενεῖς
τῇ σῇ προστασίᾳ,
θείᾳ σκέπῃ καὶ ἀρωγῇ
λαμπρῶς μεγαλύνομεν σὴν χάριν
καὶ μεσιτείαν, Παρθένε, πρὸς Τόκον σου.

**ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

**Ἡ**λιόφωτε Ἄρχων
τῶν νοητῶν τάξεων,
Ῥαφαήλ, ἡμῶν ἱκεσίας
τάχος προσάγαγε
τῷ εὐϊλάτῳ Θεῷ,
Ὢ τὰς εὐχὰς Κορνηλίου
ἄγαν ἐλεήμονος,
Νόα, προσήγαγες.

**Σ**άλπιγξ τῆς σωτηρίας
τῶν εὐσεβῶν εὔηχε,
Ῥαφαήλ, Τωβὶτ συνοδῖτα,
τοὺς προσιόντας σοι
πιστῶς πρὸς θείας νομὰς
καὶ εὐφροσύνους λειμῶνας
σῇ δοθείσῃ χάριτι
ἄνωθεν ἴθυνον.

Ὅλον πνευματοφόρον
καὶ χαρμονῆς ἔμπλεων
δεῖξον, Ῥαφαήλ, σὸν ἱκέτην
ἐπικαλούμενον
τὴν σὴν θερμὴν ἀρωγὴν
ἐν πειρασμοῖς κατωδύνοις,
ἀλγεινοῖς νοσήμασι
καὶ περιστάσεσι.

**Θεοτοκίον.**

Νεολαίαν ὁδήγει
τὴν εὐσεβῆ, ἄχραντε
Θεοκῦμον, ἐν ἀγνωσίας
ζόφῳ καθεύδουσαν
πρὸς ὑπερφώτους ὁδοὺς
θεογνωσίας καὶ τρίβους
σωστικὰς σῇ χάριτι,
κόσμου διάσωσμα.

Κατεύθυνον
πρὸς ἀτραποὺς σωτηρίας τοὺς σὲ τιμῶντας,
Ἀρχιστράτηγε Ῥαφαήλ, πιστῶν ἀπλανέστατε
ἐν βίου τοῖς σκάμμασι συνοδῖτα.

Ἐπίβλεψον
ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Αἴτησις καὶ τὸ Κάθισμα.**
**Ἦχος β΄. Πρεσβεία θερμή.**

Πιστῶν προσευχὰς προσαναφέρων Κτίσαντι
σεπτὲ Ῥαφαήλ, τοῦ πόλου Ἀρχιστράτηγε
Στρατιῶν, ἀείποτε
συνοδίτης πέλων ἀνύστακτος
ἐν βίου τρίβοις, δίδου δαψιλῶς
ἡμῖν ἀδιάπτωτον ὑγίειαν.

**ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.**

Μετανοίας μοι δάκρυα
δίδου, Ἀρχιστράτηγε, τῷ τιμῶντί σε,

Ῥαφαήλ, ὡς κρήνην ἄφθονον
ἀρωγῆς θερμῆς καὶ προστασίας μου.

Εἰρηναῖόν μοι δώρησαι
βίον καὶ κατάπαυσον τὰ σκιρτήματα
τῆς σαρκός μου, Ἀρχιστράτηγε
Ῥαφαήλ, ἰθῦντόρ μοθ πρὸς θέωσιν.

Ῥαφαήλ, τῷ Παντάνακτι
Ἰησοῦ προσάγαγε τὰ αἰτήματα
τῶν πιστῶς καταφευγόντων σοι
καὶ ἐξαιτουμένων σὴν ἀντίληψιν.

**Θεοτοκίον.**

Ἀειπάρθενε Δέσποινα,
ἀρετῆς πρὸς κτῆσιν ἡμᾶς κατεύθυνον
τοὺς λαμπρῶς σε μακαρίζοντας
ὡς πιστῶν πρὸς πόλον ὁδηγήτριαν.

**ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.**

Φέγγει σῶν εὐχῶν,
Ῥαφαήλ, πρὸς τὸν Θεάνθρωπον
ἀποδίωξον σκοτόμαιναν παθῶν
χαμαιζήλων ἀφ’ ἡμῶν τῶν εὐφημούντων σε.

Αἴγλης θεϊκῆς,
Ῥαφαήλ, καὶ δόξης κρείτονος
καταξίωσον, μερόπων ὁδηγὲ
πρὸς Θεόν, τοὺς ἀκλινῶς σε μακαρίζοντας.

Ἦματος λαμπροῦ
ἀπολαῦσαι καταξίωσον,
Ῥαφαήλ, τοῦ ἐν σκηναῖς τοῦ οὐρανοῦ,
εὐλαβῶς τοὺς καταφεύγοντας σῇ χάριτι.

**Θεοτοκίον.**

Λύπης μου ἀχλὺν
ἀποδίωξον, Μητρόθεε,
ἀστραπαῖς σῶν διαθέρμων προσευχῶν

πρὸς Υἱόν σου, τὸν εὐΐλατον Θεάνθρωπον.

**Ὠδὴ στ΄. Τὴν δέησιν.**

Ἐνώπιον, Ῥαφαήλ, τοῦ Κτίσαντος
τὰς ἡμῶν εὐχὰς προσάγαγε τάχος
καὶ καθοδήγησον σὲ τοὺς ὑμνοῦντας
πρὸς ἀτραποὺς σωστικάς, ὁ τὰ βήματα
τοῦ ἐν τῇ Κρήτῃ γεωργοῦ,
ὁδηγήσας πρὸς βίον ἰσάγγελον.

Ἰάσεων ὁ ἐκχύσας νάματα
καὶ Τωβὶτ σὺν τῇ αὐτοῦ νύμφῃ Σάῤῥᾳ
ὑπερφυῶς, Ῥαφαήλ, θεραπεύσας,
ἰάτρευσόν μου σαρκίου καὶ πνεύματος
τὰς ἀσθενείας, ἐκβοῶ,
οὐρανίων ταγμάτων Ἀρχάγγελε.

Συνέκδημε τῶν πιστῶν ἀνύστακτε,
Ῥαφαήλ, τὸν Ἀσμοδαῖον ὁ δήσας,
σύντριψον τάχος ἐσμοῦ τῶν δαιμόνων
τὴν ἐπηρμένην ὀφρὺν καὶ κακότητος
αὐτοῦ ἐκλύτρωσαι ἡμᾶς
καταφεύγοντας χάριτι θείᾳ σου.

**Θεοτοκίον.**

Ὁδήγησον πρὸς Ἐδὲμ σκηνώματα
καὶ παμφώτους πρὸς τοῦ πόλου ἐπάλξεις
τοὺς μεγαλύνοντας σῶν θαυμασίων
πληθὺν τὴν ἄμετρον, Θεογεννήτρια,
ἡ σὺν τῷ θείῳ Ῥαφαὴλ
κατευθύνουσα πάντας πρὸς θέωσιν.

Κατεύθυνον
πρὸς ἀτραποὺς σωτηρίας τοὺς σὲ τιμῶντας,
Ἀρχιστράτηγε Ῥαφαήλ, πιστῶν ἀπλανέστατε
ἐν βίου τοῖς σκάμμασι συνοδῖτα.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Τοῦ Ἀσμοδαίου ὀλέτα καὶ σύντριμμα
τῶν δαιμονίων, σεπτὲ Ἀρχιστράτηγε,
ἡμᾶς αὐτῶν ἐπηρείας ἀπάλλαξον
τοὺς εὐλαβῶς, Ῥαφαήλ, σοὶ προστρέχοντας
ὡς εὐσεβῶν ὁδοδείκτην πρὸς θέωσιν.

**Προκείμενον. Ἦχος β΄.** Ὁ ποιῶν τοὺς Ἀγγέλους Αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς Αὐτοῦ πυρὸς φλόγα.
**Στίχος.** Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

**Εὐαγγέλιον κατὰ Λουκᾶν (Κεφ. ι΄ 16 -21 ).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει..
**Ζήτει ἐν τῇ λειτουργίᾳ τῆς Η΄ Νοεμβρίου.**

**Δόξα.**

Ταῖς τοῦ Ἀσωμάτου,
Οἰκτίρμον, προστασίαις
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν.**

Ταῖς τῆς Θεοτόκου
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

**Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ῥαφαὴλ Ἀρχάγγελε,
τῶν οὐρανίων ταγμάτων
θεῖε Ἀρχιστράτηγε,
ὁ ἀποστελλόμενος
εὐσεβόφροσιν
ἐκ Θεοῦ ἅπασι
πρὸς διακονίαν
τοῖς κληρονομῆσαι θέλουσι

ζωὴν αἰώνιον
καὶ ἐξ ἐπηρείας τοῦ δαίμονος
αὐτοὺς λυτρῶσαι, πρόσδεξαι
τὰς ἡμῶν δεήσεις καὶ εὔθυνον
τρίβους οἰκετῶν σου,
ὁ ἄρτι γεωργοῦ ὁδοὺς Κρητὸς
ἰθύνας πρὸς τοῦ θελήματος
τοῦ Θεοῦ ἐπίγνωσιν.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Διακόσμου ἐξάρχων,
Ῥαφαήλ, οὐρανίου,
σεπτὲ Ἀρχάγγελε,
ὁ τοῦ Ἑκατοντάρχου,
ἐνθέου Κορνηλίου,
τὰς δεήσεις τῷ Κτίσαντι
προσαγαγών, βοηθὸς
ἡμῖν γενοῦ ἐν βίῳ.

Ὁδηγὲ Χριστωνύμων,
Ῥαφαήλ, πρὸς τοῦ πόλου
λαμπρὰ σκηνώματα,
συνέκδημος γενοῦ μοι,
Ἀρχάγγελε, ἐν βίῳ
καὶ ἰθύντωρ ἀνύστακτος
πρὸς ἀρετῆς ἀτραποὺς
καὶ σωτηρίας τρίβους.

Νεολαίαν μὴ παύσῃ
ἐφορῶν, Παντεπόπτου
Θεοῦ Ἀρχάγγελε,
καὶ πρὸς ἠθῶν ἰθύνων
χρηστότητος ἐπάλξεις,
Ῥαφαὴλ Ἀρχιστράτηγε

ἀΰλων Νόων, αὐτήν,
σὴν χάριν αἰτουμένην.

**Θεοτοκίον.**

Σκέπη, πρόμαχος, φύλαξ

καὶ φρουρὸς οἰκετῶν σου,
Θεογεννήτρια,
ὑπάρχουσα εὐλόγει
καὶ ῥύου συμπωμάτων
ζοφερῶν τοὺς τιμῶντάς σε
ὡς Σκεπαστοῦ Ἰησοῦ
ἡμῶν σεπτὴν μητέρα.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ὡς Κορνηλίῳ
μηνύσας ἔλευσιν Πέτρου
εἰς Καισάρειαν τοῦ Ἀποστόλου,
οὕτω δίδαξόν με
βουλὴν τὴν θείαν, Νόα.

Τωβία θεῖε
συνοδοιπόρε, βεβήλου
ἐπηρείας ἐκλύτρωσαι τάχος,
Ῥαφαήλ, τοὺς πίστει
σὲ ἐπικαλουμένους.

Ἡ Ἐκκλησία
τῇ προστασίᾳ σου σπεύδει,
Ῥαφαήλ, ἐν αἱρέσεως χρόνοις
ὁ ἐκ ταύτης Κρήτης
πιστῷ ἀρτίως σώσας.

**Θεοτοκίον.**

Ῥῦσαι μανίας
ἡμᾶς τοῦ πλάνου Βελίαρ,
Θεοτόκε, διὰ τοῦ Υἱοῦ σου,
τρώσαντος καιρίως
αὐτοῦ τὴν δυναστείαν.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ἰάτρευσον τὰ πάθη
σοὶ τῶν προστρεχόντων
καὶ μελῳδούντων σὴν θείαν ἀντίληψιν
καὶ ὁδηγίαν εὐθεῖαν, σεπτὲ Ἀρχάγγελε.

Ἀκέστωρ ἀσθενούντων,

Ῥαφαήλ, ὑπάρχων
καὶ ἰατρὸς τῶν ἀλγούντων, θεράπευσον
ἡμῶν τὰς νόσους κατ' ἄμφω, φαιδρὲ Ἀρχάγγελε.

Σκοτόμαινάν σου λῦσον,
Ῥαφαήλ, ἀγνοίας
Θεοῦ βουλῆς ἀστραπαῖς προστασίας σου
καὶ ἀρωγῆς σου ἑτοίμης καὶ ἀντιλήψεως.

**Θεοτοκίον.**

Χαρᾶς ἡμῶν αἰτία,
Κεχαριτωμένη,
τῶν λυπηρῶν τὴν ὁμίχλην διάλυσον
ἡμῶν τῶν πίστει καὶ πόθῳ μακαριζόντων σε.

**Ἄξιόν ἐστι......καὶ τὰ Παρόντα Μεγαλυνάρια.**

Χαίροις, Ἀρχιστράτηγε Ῥαφαήλ,
ὁ προσαναφέρων
τὰς δεήσεις τῶν εὐσεβῶν,
χαίροις, συνοδῖτα
σεπτὲ τῶν ὁδοιπόρων
τοῦ βίου, τῶν ποθούντων
φθάσαι εἰς θέωσιν.

Ἴθυνον τὰς τρίβους σῶν ἱκετῶν
πρὸς θεογνωσίαν,
ἀστραπόμορφε Ῥαφαήλ,
ἔξαρχε τῶν Νόων,
τῶν οὐρανίων, πᾶσι
ὁδοὺς τῆς σωτηρίας
τάχος δεικνύμενος.

Ἀσμοδαίου σύντριμμα βδελυροῦ,
Ῥαφαήλ, μανίας
πάντας ῥῦσαι τοῦ πονηροῦ,
τοὺς ἐκδεχομένους
σὴν θείαν προστασίαν
καὶ ἀρωγὴν καὶ σκέπην,
θεῖε Ἀρχάγγελε.

Ἐλεημοσύνας προσαγαγὼν
τῷ Θεῷ τῶν ὅλων

Κορνηλίου τοῦ εὐλαβοῦς
σὺν αὐτοῦ ἐνθέρμοις
εὐχαῖς, μὴ διαλίπῃς
ἡμῶν λιτὰς προσάγων
Κτίστῃ, Ἀρχάγγελε.

**Τ**οῦ Τωβὶτ ὁ τάχιστος ἰατρὸς
καὶ αὐτοῦ τῆς νύμφης
Σάῤῥας θεῖος θεραπευτής,
Ῥαφαήλ, τὰς νόσους
θεράπευσον τῶν πίστει
σὲ ἀνυμνολογούντων,
θεῖε Ἀρχάγγελε.

**Ὡ**ς Ἀρχιδιάκονος συστηθεὶς
τοῦ Ἀρχιερέως
τοῦ Μεγάλου τῷ γεωργῷ,
Ῥαφαήλ, τῆς Κρήτης
αἱρέσεως ἐν χρόνοις
αὐτῷ τῆς ἀληθείας
τρίβους ὑπέδειξας.

**Π**ᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι πάντες,
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

**Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**
**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

**Σ**υνοδίτην ἐν τρίβοις ἡμῶν τὸν ἔμπειρον,
προσαναφέροντα πάντων
των εὐσεβῶν προσευχὰς
καὶ ἐνώπιον Θεοῦ εἰσπορευόμενον
δόξης, φωσφόρον Ῥαφαὴλ,
Ἀρχαγγέλων παμφαῶν
κοσμήτορα εὐφημοῦμεν
ὡς συνοδίτην ἐν βίῳ
πρὸς ἀρετῆς ἡμῶν τελείωσιν.

www.tezaurliturgic.ro


**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς·**
**Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Ῥῦσαι τῆς μανίας πονηροῦ
καὶ αὐτοῦ δεινῆς ἐπηρείας,
θεοειδὲς Ῥαφαήλ,
Νόων Ἀρχιστράτηγε
ἀΰλων πάμφωτε,
Ἀσμοδαίου τὴν ἔπαρσιν
ὁ κατασυντρίψας,
ὁ ἀποστελλόμενος
θεόθεν πάντοτε
εὐσεβέσι διακονῆσαι
θέλουσιν ὁδὸν σωτηρίας
τὴν στενὴν ἀνῦσαι καὶ δυσπρόσιτον.

Δέσποινα, πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Τετράστιχον.**

**Ἀρχάγγελε, ὁδήγει εἰς σωτηρίαν**
**ἀπλανῶς Κωνσταντῖνον - Χρυσοβαλάντην,**
**Ῥαφαήλ-Ῥαφαήλ, τε καὶ Γεωργίαν**
**σὺν πᾶσι τοῖς οἰκείοις αὐτῶν καὶ φίλοις.**

**Τ Ε Λ Ο Σ**

**ΚΑ Ι  Δ Ο Ξ Α**

**Τ Ω  Μ Ο Ν Ω  Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω  Η Μ Ω Ν**

**Ἀρίθμ. Καταλ. Π 615 / 19-4-14**